ἀριθ. ϛιχ.

ἦν δ' ἀντέρεισις, εἰς ὄλεθρον ἐτράπη.
ΚΒ. Νόσος τὶ τοίνυν ἢ κινήσεων πάλη
ἀγὼν μέγας τε δραστικοῦ μετ' αἰτίου,
συμπτώματ' αὖθις τῆσδε τῆς πάλης γόνος, ιϛ. 381
ἀεί τε τῇδε συμφυῶς ξυνημμένα.
τοῖος τόσος τ' ἄρ' ἑσμὸς ὁ ξυμπτωμάτων,
οἵα θ' ὅση τ' ἔσθ' ἥδ' ἀμοιβαία πάλη.
κἢν μεῖζον ᾖ μὲν τ' ἀντερείσεως σθένος,
ἀνεῖλε τὸ δρῶν ῥᾷστα σύμπαν ἐκ μέσου· ιε. 297
ἢν δ' ἶσον, ἀντέτεινε μακρὸν ἐν πάλῃ
ἕς ἂν ποτ' ἰσχύσειε τοῦ δρῶντος πλέον
τουτί τ' ἀμαλδύνειεν ἐξώσειέ τε· ιε. 300 καὶ ἑξ.
ἤνπερ δ' ἔλασσον, θᾶσσον ἠμαύρωθ' ἅπαν· κα. 439
ἢν δ' ἐμποδών τι τῇδε γίγνηται πάλῃ
ἔξωθεν ὀχλοῦν τήνδ' ἀνατρέπον θ' ἅλις, κ. 400 καὶ ἑξ.
ἔβλαψεν ἀμφοῖν, ἢ τὸ θατέρου σθένος.
ἢ τοίνυν ἠμαύρωσεν ἀμφοῖν τὸ σθένος
πάλην τ' ἀνεῖλε σύν γε τοῖσδ' ὀλεθρίως,
ἢ μᾶλλον ἠμάλδυνε θατέρου σθένος.
εἰ γοῦν ἀμαλδύνειε τὴν δρῶντος βίαν,
ἤνεγκε μεῖζον ἀντερείσει τὸ σθένος,
κρείττω τε ταύτην ἐξέφηνεν ἐν πάλῃ,
ὡς τήνδ' ἅμ' ἰσχύσαι τε τοῦ δρῶντος πλέον,
σύμπαν τόδ' ἐξῶσαι τε σὺν τοῦδε δράσει, ιϛ. 330
ἐσθλόν τε θεῖναι τῇδε τῇ πάλῃ πέρας·
εἰδ' ἀντέρεισιν, πᾶν ἀνέτρεψε σθένος κα. 439

κινή-